αἰσχρᾶς ἢ πάθους τινὸς ἀνεπιτηδείου. διὸ καὶ ποιητὰς C καὶ συγγραφεῖς εἰώθαμεν ἐπαινεῖν ἢ ψέγειν οὕτω πως λέγοντες 'Ἀττικοῖς ὀνόμασιν ὁ δεῖνα κέχρηται' καὶ 'καλοῖς ῥήμασιν' ἢ πάλιν 'πεζοῖς'· τὸ δέ γε 'πεζοῖς' ἢ 'καλοῖς' πάλιν καὶ 'Ἀττικοῖς ἄρθροις' οὐκ ἂν εἴποι τις Εὐριπίδην ἢ Θουκυδίδην διειλέχθαι.

3. 'Τί οὖν;' φήσαι τις ἄν, 'οὐδὲν ταῦτα συμβάλλεται πρὸς λόγον;' ἔγωγε φήσαιμ' ἂν ὥσπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον ὕδωρ δὲ πρὸς μᾶζαν· Εὔηνος δὲ καὶ τὸ πῦρ ἔφασκεν ἡδυσμάτων εἶναι κράτιστον. ἀλλ' οὔθ' ὕδωρ μάζης ἢ ἄρτου μέρος εἶναι λέγομεν οὔτε πῦρ οὔθ' ἅλας ἑψήματος ἢ βρώματος· ὧν ἀεί τυγχάνομεν δεόμενοι, οὐχ ὥσπερ ὁ λόγος πολλάκις ἐκείνων ἀπροσδεής ἐστιν· ὡς δοκεῖ μοι περὶ Ῥωμαίων λέγειν ὁρῶ μέλλω †νῦν ὁμοῦ D τι πάντες ἄνθρωποι χρῶνται· προθέσεις τε γὰρ ἀφῄρηκε πλὴν ὀλίγων ἁπάσας, τῶν τε καλουμένων ἄρθρων οὐδὲν προσδέχεται τὸ παράπαν, ἀλλ' ὥσπερ ἀκρασπέδοις χρῆται τοῖς ὀνόμασι. καὶ οὐ θαυμαστόν ἐστιν, ὅπου καὶ Ὅμηρος 'ἐπέων κόσμῳ' περιγενόμενος ὀλίγοις τῶν ὀνομάτων ἄρθρα ὥσπερ λαβὰς ἐκπώμασι δεομένοις ἢ λόφους κράνεσιν ἐπιτίθησι· διὸ καὶ παράσημα τῶν ἐπῶν ἐν οἷς ταῦτα ποιεῖ γέγονεν, ὡς τὸ (Ξ 459)

Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
τῷ Τελαμωνιάδῃ'

καὶ τὸ (Υ 147)

'ποιέεν, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο·'